www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν χαρμόσυνον Εὐαγγελισμὸν τῆς Πανυπεράγνου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας

Ἦχος Α΄

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Ἕτερος εἰς τὸν χαρμόσυνον Εὐαγγελισμὸν τῆς Πανυπεράγνου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, οὗ ἡ ἀκροστιχίς «Χαῖρε Κεχαριτωμένη Μαρία Σ.Ξ.», ἐν δὲ τοῖς τελευταίοις τροπαρίοις ἑκάστης ᾠδῆς «Ἱλαρίων Μ.» Ἦχος Α΄.

*Ὠιδὴ Α΄ Ἀναστάσεως ἡμέρα.*

Χαῖρε Κεχαριτωμένη, μετὰ σοῦ ὁ Θεός, χαῖρε Μαρία χαῖρε, εὐλογημένη καὶ γὰρ σύ, τοῦ Πατρὸς ἐν τῇ γαστρί, συλλήψῃ Υἱόν, καὶ τέξῃ Θεάνθρωπον, τῶν βροτῶν εἰς ἀνάπλασιν.

Ἀρχαγγέλου δεχομένη, Μαριὰμ ἀσπασμόν, χαῖρε εὐλογημένη, Ὑψίστου δύναμις ἐν σοὶ ἐπισκιάσει καὶ Θεόν, ἐν μήτρᾳ Ἁγνή, εἰσδέξῃ πανάσπιλε τῆς ἀρᾶς εἰς ἀναίρεσιν.

Ἰησοῦν καλέσεις Κόρη, ὅνπερ τέξεις Υἱόν, ὢ Κεχαριτωμένη, τὴν πεπτωκυῖαν τοῦ Ἀδάμ, φύσιν σῶσαι ἐκ φθορᾶς, θανάτου σεμνή, χαράν σοι φθεγγόμενον, μὴ ἀπίστει θεόνυμφε.

Ἰεσσαὶ ἐνθοβλαστήσασα, ἐκ ῥίζης Χριστόν, χαῖρε εὐλογημένη, χαρὰν ἡ κτίσις διὰ σοῦ, ἠμφιάσατο τῆς πρίν, λυθεῖσα Ἁγνή,

ἀρχαίας τοῦ πταίσματος, Μαριὰμ
κατακρίσεως.

*Ὠιδὴ Γ΄ Δεῦτε πόμα πίωμεν.*

Ῥύπου δίχα Κόρη ἐν γαστρί, τοῦ Ἀνάρχου συλλήψῃ Πατρὸς τὸν σύγχρονον, ὡς Ἠσαΐας τὸ πρίν, φωναῖς θεηγόροις Μαριάμ, σαφῶς προκατήγγειλε.

Εὔας τῆς προμήτορος ἀράν, τοῦ Ἀγγέλου τὸ χαῖρε σχοῦσα ἠφάνισας, εὐλογημένη γὰρ σύ, ὁ Κύριος εἴη μετὰ σοῦ, Παρθένε ἀπείρανδρε.

Κεχαριτωμένη Μαριάμ, σὲ Ἰακὼβ ὥσπερ κλίμακα προεώρακε, πρὸς οὐρανὸν ἀπὸ γῆς, βροτῶν τὴν πεσοῦσαν τοῦ Ἀδάμ, φύσιν ἐπανάγουσα.

Λίθον ἐκτμηθέντα Δανιήλ, ἀπὸ ὄρους πανύμνητε προεώρακε, ἄνευ χειρὸς προτυπῶν, τοῦ θείου σου τόκου ἐμφανῶς, Κόρη τὸ μυστήριον.

*Ὠιδὴ Δ΄ Ἐπὶ τῆς θείας φυλακῆς.*

Ἐν τῇ ἀσπόρῳ σου γαστρί, συλλήψῃ Κόρη τοῦ Πατρός, Λόγον καὶ ἀφθόρως ἐν χρόνῳ, τέξῃ Μητροπάρθενε, βροτῶν εἰς ἀνακαίνισιν, χαῖρε εὐλογημένη Μαρία, ἐν γυναιξὶν ἀληθῶς, καὶ κοσμοσώτειρα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Χαῖρε ἡ μόνη πρὸς Θεόν, καταλλαγὴ τοῦ τῶν βροτῶν, γένους Θεοτόκε Παρθένε, ἣν προανεφώνησε, Δαβὶδ ὁ θεοκίνητος, σήμερον δι' Ἀγγέλου κομίζῃ, προαιωνίου βουλῆς τὰ εὐαγγέλια.

Ἀφλέκτως βάτον ἐν Σινᾷ, Μωσῆς ἑώρακε τὸ πρίν, τύπον τοῦ σοῦ τόκου Παρθένε, πῦρ γὰρ τῆς θεότητος, τὴν μήτραν σου οὐκ ἔφλεξε, χαῖρε ἡ παρασχοῦσα τῷ κόσμῳ, τὴν ὀφειλὴν τῆς ἀρᾶς θεοχαρίτωτε.

Ἀρᾶς τῆς πάλαι ἐν Ἐδέμ, τοῦ Ἀρχαγγέλου ἀσπασμόν, ἔλυσας λαβοῦσα Παρθένε, καὶ ἡμῖν ἐξήνθησας, ζωὴν τὴν ἐνυπόστατον, ὄφεως τὸν ἰὸν ἀναιροῦσα, καὶ ἀφθαρσίᾳ κοσμοῦσα τὸ ἀνθρώπινον.

*Ὠιδὴ Ε' Ὀρθρίσωμεν ὄρθρου.*

Ῥομφαία φλογίνη τὰς πύλας, τοῦ Παραδείσου ἡ πάλαι φυλάττουσα τὰς εἰσόδους, νῶτα ὑπενδίδωσι, ἀγγελικῷ προσφθέγματι, χαῖρε φωνοῦντός σοι Ἄχραντε.

Ἰούδα βασίλειος κόσμῳ, φυλὴ Παρθένον ὡς ῥόδον ἐξήνθησε πανευῶδες τὸ μυρίσαν βρότειον, οὐσίαν πρὶν τὴν πταίσασαν, φθόνῳ ἰῷ τῷ τοῦ δράκοντος.

Τὴν χρύσεον στάμνον τοῦ μάννα, προδιετύπου ὁ τόκος σου ἄνανδρε καὶ ἡ ῥάβδος, Ἀαρὼν ἀπείρανδρε, ἡ πάλαι ἐκβλαστήσασα, χαῖρε βροτῶν ἡ ἀνάκλησις.

Ῥανάτωσαν ὕδωρ νεφέλαι, καὶ οἱ βουνοὶ γλυκασμὸν σταλαξάτωσαν τῆς Παρθένου, ἐν τῇ μνήμῃ σήμερον, χαρμονικῶς ᾀδέτωσαν, θεολόγων αἱ γλῶσσαι ἐφύμνια.

## *Ὠιδὴ ΣΤ΄ Κατῆλθες.*

Ὡράθη, ἐν τοῖς περιγείοις φρικτόν, πῶς ἀπείρανδρος ἀμνάς, συλλαβοῦσα ἀσπόρως, τοῦ Ἀρχαγγέλου φωνῇ, καὶ ἐκύησε, τὸν συνάναρχον Πατρί, εἰς βροτῶν σωτηρίαν.

Μαρία, Κεχαριτωμένη Ἁγνή, ἡ τὸν ὄμβρον ἐν γαστρί, τὸν οὐράνιον σχοῦσα, τοὺς ἁμαρτίας φλογμῷ καταρδεύσασα, καὶ μετόχους τῆς ζωῆς, τῆς ἀλήκτου δεικνῦσα.

Ἐδέχθης, ὡς καθαρωτάτη παστάς, τὸν οὐράνιον σεμνή, τῇ φωνῇ τοῦ Ἀγγέλου, νυμφίον Κόρη Χριστόν, τὸν ἀμήτορα, πρὸ αἰώνων ἐκ Πατρός, γεννηθέντα ἀχρόνως.

Ἰδών σου, Ἰωσὴφ ὁ σώφρων Ἁγνή, τὴν γαστέρα μὴ εἰδώς, ὡς εἰκὸς ἐταράχθη, κλεψιγαμίαν νοῶν, ἀλλ' ἐδόξαζε, τοῦ Ἀγγέλου τῇ φωνῇ, τῶν ἐν σοὶ μεγαλείων.

## *Ὠιδὴ Ζ΄ Ὁ παῖδας ἐκ καμίνου.*

Ναὸς τοῦ Παντοκράτορος γέγονας, ἐν μήτρᾳ χωρήσασα, τούτον τῆς φωνῆς, τοῦ Ἀρχαγγέλου Γαβριήλ, δεξαμένη ἐν πίστει Πανάμωμε, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ἡ πάντων τῶν βροτῶν ὑπερέκεινα, Παρθένε πανάσπιλε, θείων προφητῶν, ὁ ἐνθεώτατος χορός, θεηγόροις φωναῖς προκατήγγειλε, τὸν μόνον ἐν τῇ γαστρὶ συλλαβοῦσα, βουλῆς μεγάλης ἄγγελον.

Μητέρα γενομένην τοῦ κτίστου σου ἀεὶ μακαρίζουσι, πᾶσαι γενεαί, αἱ τῶν ἀνθρώπων ἀγαθή, σὺν Ἀγγέλων χοροῖς Παναμώμητε, ἐκ σοῦ γὰρ ἡ εὐλογία τοῖς πᾶσι, ὡς θεῖον ἐνδιαίτημα.

Ὡραῖάν σε εὑρὼν ὁ φιλάνθρωπος, ἐν σοὶ κατεσκήνωσε, Κόρη Μαριάμ, δι᾽ Ἀρχαγγέλου τὴν αὐτοῦ, παρουσίαν μηνύει Ἄχραντε, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

## *Ὠιδὴ Η΄ Αὕτη ἡ κλητή.*

Αὕτη χαρμονῆς, φιλεόρτων ἡμέρα, πρωτίστη τῶν ἁπάντων, ὡς κορωνὶς καὶ ἁγία, σωτηρίας ἡμῶν τὸ κεφάλαιον

τετέλεσται σήμερον, ἐν ᾗ εὐλογοῦμεν τὴν Ἄχραντον Παρθένον.

Ῥεύσαντα τὸ πρίν, ἐντολῆς παραβάσει, τὸν ἄνθρωπον εἰς τέλος, οὐ παρεῖδες οἰκτίρμον, ἐκ Παρθένου Ἁγνῆς, σωματούμενος φθαρέντα ἀνέπλασας, ὁ δεδοξασμένος εἰς πάντας τοὺς αἰῶνας.

Ἶσον τῷ Πατρί, πεφυκότα τὸν Λόγον, καὶ Πνεύματι τῷ θείῳ, θεανδρικῶς προελθόντα, ἐξ ἀσπόρου γαστρός, ἐκ φθορᾶς πρὸς τὴν ζωὴν ἐπανάγοντα, τὴν βροτῶν οὐσίαν, δι' ἄκραν εὐσπλαγχνίαν.

Νεῦσον ταῖς ἡμῶν, παρακλήσεσι Μῆτερ, ἡ παρὰ τοῦ Ἀγγέλου, τὴν χαρὰν δεξαμένη, ἐκλυτροῦσα δεινῶν, καὶ εἰρήνην δωροῦσα τῇ ποίμνῃ σου, ἡ εὐλογημένη καὶ Κεχαριτωμένη.

*Ὠιδὴ Θ΄ Φωτίζου, φωτίζου.*

Ἀγάλλου καὶ τέρπου, ἡ Ἐκκλησία τῶν πιστῶν, χαρμοσύνως τελοῦσα, τῆς Παρθένου σήμερον, μνήμην φαιδράν, φωταυγῆ ἑορτήν, ἐξ οὐρανοῦ γὰρ τῆς σωτηρίας, τὰ εὐαγγέλια δέχεται.

Σκιρτῶσι Παρθένε, τῶν οὐρανίων στρατιῶν, αἱ δυνάμεις καὶ θείων Ἀποστόλων σύνταγμα, τῶν Προφητῶν, καὶ Μαρτύρων

χοροί, τῶν Ἀσκητῶν καὶ δικαίων πάντων, ἐπὶ τῇ μνήμῃ σου Ἄχραντε.

Ξενότροπον πάνυ, τῆς σῆς συλλήψεως Ἁγνή, τὸ μυστήριον πέλει, πῶς Πατρὸς τὸν σύνθρονον, τοῦ Γαβριὴλ Ἀρχαγγέλου φωνῇ, ἐν τῇ γαστρὶ τοῦτον συλλαβοῦσα, γένους βροτῶν εἰς ἀνάπλασιν.

Μητέρα αὐχοῦντες, καὶ θείαν Ἔφορον σεμνή, οἱ τὸ Ὄρος οἰκοῦντες, Ἄθω σὸν περίβολον, δίδου ἡμῖν εἰρηνεύειν ἀεί, καὶ τοῦ Υἱοῦ σου τῆς Βασιλείας, τῇ εὐσπλαγχνίᾳ σου καταξίωσον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ